26 [26]εὐλογίας πατρός σου καὶ μητρός σου·
ὑπερίσχυσεν ἐπ᾽ εὐλογίαις ὀρέων μονίμων
καὶ ἐπ᾽ εὐλογίαις θινῶν ἀενάων·
ἔσονται ἐπὶ κεφαλὴν Ιωσηφ
καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν.
27 [27]Βενιαμιν λύκος ἅρπαξ·
τὸ πρωινὸν ἔδεται ἔτι
καὶ εἰς τὸ ἑσπέρας διαδώσει τροφήν.
28 [28]Πάντες οὗτοι υἱοὶ Ιακωβ δώδεκα, καὶ ταῦτα ἐλάλησεν αὐτοῖς
ὁ πατὴρ αὐτῶν καὶ εὐλόγησεν αὐτούς, ἕκαστον κατὰ τὴν εὐλογίαν
29 αὐτοῦ εὐλόγησεν αὐτούς. [29]καὶ εἶπεν αὐτοῖς Ἐγὼ προστίθεμαι
πρὸς τὸν ἐμὸν λαόν· θάψατέ με μετὰ τῶν πατέρων μου ἐν τῷ
30 σπηλαίῳ, ὅ ἐστιν ἐν τῷ ἀγρῷ Εφρων τοῦ Χετταίου, [30]ἐν τῷ σπη-
λαίῳ τῷ διπλῷ τῷ ἀπέναντι Μαμβρη ἐν τῇ γῇ Χανααν, ὃ ἐκτήσατο
Αβρααμ τὸ σπήλαιον παρὰ Εφρων τοῦ Χετταίου ἐν κτήσει μνη-
31 μείου· [31]ἐκεῖ ἔθαψαν Αβρααμ καὶ Σαρραν τὴν γυναῖκα αὐτοῦ, ἐκεῖ
ἔθαψαν Ισαακ καὶ Ρεβεκκαν τὴν γυναῖκα αὐτοῦ, καὶ ἐκεῖ ἔθαψα
32 Λειαν [32]ἐν κτήσει τοῦ ἀγροῦ καὶ τοῦ σπηλαίου τοῦ ὄντος ἐν αὐτῷ
33 παρὰ τῶν υἱῶν Χετ. [33]καὶ κατέπαυσεν Ιακωβ ἐπιτάσσων τοῖς
υἱοῖς αὐτοῦ καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην ἐξέλιπεν
καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.
50 [1]Καὶ ἐπιπεσὼν Ιωσηφ ἐπὶ τὸ πρόσωπον τοῦ πατρὸς αὐτοῦ
2 ἔκλαυσεν ἐπ᾽ αὐτὸν καὶ ἐφίλησεν αὐτόν. [2]καὶ προσέταξεν Ιωσηφ
τοῖς παισὶν αὐτοῦ τοῖς ἐνταφιασταῖς ἐνταφιάσαι τὸν πατέρα αὐ-
3 τοῦ, καὶ ἐνεταφίασαν οἱ ἐνταφιασταὶ τὸν Ισραηλ. [3]καὶ ἐπλήρωσαν
αὐτοῦ τεσσαράκοντα ἡμέρας· οὕτως γὰρ καταριθμοῦνται αἱ ἡμέραι
τῆς ταφῆς. καὶ ἐπένθησεν αὐτὸν Αἴγυπτος ἑβδομήκοντα ἡμέρας.
4 [4]Ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι τοῦ πένθους, ἐλάλησεν Ιωσηφ
πρὸς τοὺς δυνάστας Φαραω λέγων Εἰ εὗρον χάριν ἐναντίον ὑμῶν,
5 λαλήσατε περὶ ἐμοῦ εἰς τὰ ὦτα Φαραω λέγοντες [5]Ὁ πατήρ μου
ὥρκισέν με λέγων Ἐν τῷ μνημείῳ, ᾧ ὤρυξα ἐμαυτῷ ἐν γῇ Χανααν,
ἐκεῖ με θάψεις· νῦν οὖν ἀναβὰς θάψω τὸν πατέρα μου καὶ ἐπαν-
6 ελεύσομαι. [6]καὶ εἶπεν Φαραω Ἀνάβηθι, θάψον τὸν πατέρα σου,
7 καθάπερ ὥρκισέν σε. [7]καὶ ἀνέβη Ιωσηφ θάψαι τὸν πατέρα αὐτοῦ,
καὶ συνανέβησαν μετ᾽ αὐτοῦ πάντες οἱ παῖδες Φαραω καὶ οἱ πρε-
σβύτεροι τοῦ οἴκου αὐτοῦ καὶ πάντες οἱ πρεσβύτεροι τῆς γῆς Αἰγύπτου

26 ορεων > A | κεφαλης A || 27 διαδωσει] διδωσιν B(†) || 28 ουτοι] οι A† | ελαλ. αυτοις] tr. A | αυτους 1°] + ο πατηρ B† || 30 τη > B || 31 εκει 2°] pr. και A | και ult. > B | εθαψα Gra.] -ψαν BA || 33 εξαρας] + ιακωβ A | αυτου 2° > A

50 1 το προσ.] τον τραχηλον A | επ > B || 3 επληρωσεν αυτους B† || 4 δε > A || 5 μου ωρκ. με] με ωρκ. B†, + προ του τελευτησαι A | επανελευσομαι M] απελ. B†, επελ. A || 6 φαραω] + τω ιωσηφ A || 7 της > A